ὁ Γοργίας, ὅτι περὶ λόγους καὶ ὡς ἤδη εἴρηται διττὴν ἔχει ἔγκλησιν ἡ ἀπόκρισις· ὁ τοίνυν Σωκράτης, ἐπειδὴ οὐκ ἐβούλετο ἀδοξῆσαι τὸν Γοργίαν ἀλλὰ ὠφεληθῆναι, φησίν, ὅτι, ἐπειδὴ καὶ ἡ ἰατρικὴ περὶ λόγους τῶν καμνόντων καταγίνεται καὶ ἄλλαι πολλαί, διόρισαι, περὶ ποίους λόγους καταγίνῃ.

p. 449 e. ἀλλὰ μὴν λέγειν γε ποιεῖ δυνατούς·

5 φησὶν ὅτι· ἆρα καὶ διδάσκειν δύναται ἄλλους λέγειν;

p. 449 e. οὗ καὶ περὶ ὧν.

6 οὐκοῦν φησίν, ὦ Γοργία, περὶ ἐκείνων τῶν λόγων ποιῇ τὴν ἐπιστήμην, περὶ ὧν καὶ λέγειν καὶ φρονεῖν ἐπαγγέλλῃ· εἰ δὲ τοῦτο, ὁρῶμεν δὲ καὶ τὴν ἰατρικὴν καὶ λέγειν καὶ φρονεῖν ἐπαγγελλομένην περὶ τῶν καμνόντων, κἀκείνη περὶ λόγους καταγίνεται καὶ οὐκέτι μόνη ἡ ῥητορική.

p. 450 a. οὐκοῦν καὶ ἡ γυμναστική.

7 οὐ περὶ τῶν παιδοτρίβων τούτων λέγει, ἀλλὰ περὶ τῶν πάλαι· ἡ μὲν γὰρ ἰατρικὴ ἀποῦσαν ὑγίειαν ἀνεκαλεῖτο, ἡ δὲ γυμναστικὴ τὴν παροῦσαν ἐφύλαττε· νῦν δὲ συγκέχυνται ταῦτα.

p. 450 b. ὅτι, ὦ Σώκρατες.

8 ὁ Γοργίας φησίν, ὅτι διὰ τοῦτο τὰς ἄλλας ῥητορικὰς οὐ καλῶ, ἐπειδὴ ἐκεῖναι καὶ περὶ χειρουργίας ἀντὶ τοῦ καὶ περὶ πράξεις καταγίνονται, αὕτη δὲ μόνη περὶ λόγους μόνους· ψεύδεται δέ· ὡς γὰρ εἰρήκαμεν, οὐ περὶ λόγους μόνους καταγίνεται, ἀλλὰ καὶ περὶ σιωπὴν καὶ περὶ ὑπόκρισιν· εἶτα λοιπὸν ὁ Σωκράτης ἐπιεικῶς διαρθροῖ τὸν λόγον καὶ παραδίδωσι πάσας τὰς τέχνας ἐκ διαιρέσεως οὕτως· περὶ ἔργα μὲν οὖν μόνα καταγίνεται ζῳγραφική, ἀνδριαντοποιικὴ καὶ αἱ τοιαῦται· περὶ λόγους δὲ μόνους ἡ διαλεκτική· περὶ λόγους δὲ καὶ ἔργα ἰατρική τε καὶ γεωμετρία καὶ ἀριθμητικὴ καὶ ἡ λογιστική. ἀλλ' ἡ μὲν ἰατρικὴ πλεῖον μὲν περὶ τὰ ἔργα, ἧττον δὲ περὶ τοὺς λόγους, ἡ δὲ γεωμετρία καὶ ἡ ἀριθμητικὴ καὶ ἡ λογιστικὴ πλέον μὲν περὶ τοὺς λόγους, ἧττον δὲ περὶ τὰ ἔργα· πεττευτικὴ δέ, ἥτις διαφέρει τῆς κυβικῆς κατὰ τὸ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/38 UNIVERSITÄT LEIPZIG